# LYSIAE

## ORATIONES
## CUM FRAGMENTIS

RECOGNOVIT
BREVIQVE ADNOTATIONE CRITICA INSTRVXIT

C. CAREY

LITTERARUM GRAECARUM PROFESSOR
APUD COLLEGIUM UNIVERSITATIS LONDINIENSE

OXONII

E TYPOGRAPHEO CLARENDONIANO
MMVII

OXFORD
UNIVERSITY PRESS

Great Clarendon Street, Oxford OX2 6DP

Oxford University Press is a department of the University of Oxford.
It furthers the University's objective of excellence in research, scholarship,
and education by publishing worldwide in

Oxford New York

Auckland Cape Town Dar es Salaam Hong Kong Karachi
Kuala Lumpur Madrid Melbourne Mexico City Nairobi
New Delhi Shanghai Taipei Toronto

With offices in

Argentina Austria Brazil Chile Czech Republic France Greece
Guatemala Hungary Italy Japan Poland Portugal Singapore
South Korea Switzerland Thailand Turkey Ukraine Vietnam

Oxford is a registered trade mark of Oxford University Press
in the UK and in certain other countries

Published in the United States
by Oxford University Press Inc., New York

© Oxford University Press, 2007

The moral rights of the author have been asserted
Database right Oxford University Press (maker)

First published 2007

All rights reserved. No part of this publication may be reproduced,
stored in a retrieval system, or transmitted, in any form or by any means,
without the prior permission in writing of Oxford University Press,
or as expressly permitted by law, or under terms agreed with the appropriate
reprographics rights organizations. Enquiries concerning reproduction
outside the scope of the above should be sent to the Rights Department,
Oxford University Press, at the address above

You must not circulate this book in any other binding or cover
and you must impose this same condition on any acquirer

British Library Cataloguing in Publication Data
Data available

Library of Congress Cataloging in Publication Data
Data available

Typeset by RefineCatch Limited, Bungay, Suffolk
Printed in Great Britain
on acid-free paper by
Biddles Ltd., King's Lynn, Norfolk

ISBN 978-0-19-814072-6

1 3 5 7 9 10 8 6 4 2

I

## ΥΠΕΡ ΤΟΥ ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΦΟΝΟΥ ΑΠΟΛΟΓΙΑ

Περὶ πολλοῦ ἂν ποιησαίμην, ὦ ἄνδρες, τὸ τοιούτους ὑμᾶς [91S]
ἐμοὶ δικαστὰς περὶ τούτου τοῦ πράγματος γενέσθαι, οἷοίπερ 1
ἂν ὑμῖν αὐτοῖς εἴητε τοιαῦτα πεπονθότες· εὖ γὰρ οἶδ' ὅτι, εἰ τὴν
αὐτὴν γνώμην περὶ τῶν ἄλλων ἔχοιτε, ἥνπερ περὶ ὑμῶν
αὐτῶν, οὐκ ἂν εἴη ὅστις οὐκ ἐπὶ τοῖς γεγενημένοις
ἀγανακτοίη, ἀλλὰ πάντες ἂν περὶ τῶν τὰ τοιαῦτα
ἐπιτηδευόντων τὰς ζημίας μικρὰς ἡγοῖσθε. καὶ ταῦτα οὐκ ἂν 2
εἴη μόνον παρ' ὑμῖν οὕτως ἐγνωσμένα, ἀλλ' ἐν ἁπάσῃ τῇ [92S]
Ἑλλάδι· περὶ τούτου γὰρ μόνου τοῦ ἀδικήματος καὶ ἐν
δημοκρατίᾳ καὶ ὀλιγαρχίᾳ ἡ αὐτὴ τιμωρία τοῖς ἀσθενεστάτοις
πρὸς τοὺς τὰ μέγιστα δυναμένους ἀποδέδοται, ὥστε τὸν
χείριστον τῶν αὐτῶν τυγχάνειν τῷ βελτίστῳ· οὕτως, ὦ
ἄνδρες, ταύτην τὴν ὕβριν ἅπαντες ἄνθρωποι δεινοτάτην
ἡγοῦνται. περὶ μὲν οὖν τοῦ μεγέθους τῆς ζημίας ἅπαντας 3
ὑμᾶς νομίζω τὴν αὐτὴν διάνοιαν ἔχειν, καὶ οὐδένα οὕτως
ὀλιγώρως διακεῖσθαι, ὅστις οἴεται δεῖν συγγνώμης τυγχάνειν

Or. 1 Schol. in Hermog 6.458, 16–20 (Walz)

---

Hanc or. praebent praeter X et apographas etiam *Π*[1] (§§14–15) *Π*[2] (§§45–49) HPTo (quorum exemplar hic *η* designo)  o Tit. *ὑπὲρ τοῦ Ἐρατοσθένους φόνου ἀπολογία* Harpocr. s. v. *μέταυλος*; *Λυσίου περὶ Ἐρατοσθένους φόνου ἀπολογία* HTo; *ἀπολογία περὶ τοῦ Ἐρατοσθένους φόνου* *Π*[2] (sub fine); om. P  3 *εἴητε* Fabricius et Anon. Lugd.: *εἰ ἦτε* codd.: *ἦτε* Coraes in schedis  4 *γνώμην* ⟨*καὶ*⟩ Reiske  5 *ἐπὶ τοῖς γεγενημένοις οὐκ* *η*  6 *ἀγανακτήσειε* H *οὐκ ἀγανακτείσῃ* P[1] *–οίη* P[c]  *πάντες*] *πάσας* Weidner  *τῶν περὶ* To  7 *τὰς* ⟨*μεγίστας*⟩ Reiske  *μικρὰς* X[c] *μακρὰς* X[ac]A*fη*  *ἡγεῖσθαι* P  8 *ἐγνωσμένως* P  10 *καὶ ἐν ὀλ.* P (coniecerat Contius)  *τιμωρία* ex *τιμορία* corr. ut vid. P  13 *τὴν* ante *ὕβριν* del. Dobree

ἢ μικρᾶς ζημίας ἀξίους ἡγεῖται τοὺς τῶν τοιούτων ἔργων
4 αἰτίους· ἡγοῦμαι δέ, ὦ ἄνδρες, τοῦτό με δεῖν ἐπιδεῖξαι, ὡς
ἐμοίχευεν Ἐρατοσθένης τὴν γυναῖκα τὴν ἐμὴν καὶ ἐκείνην τε
διέφθειρε καὶ τοὺς παῖδας τοὺς ἐμοὺς ᾔσχυνε καὶ ἐμὲ αὐτὸν
ὕβρισεν εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών, καὶ οὔτε ἔχθρα ἐμοὶ
καὶ ἐκείνῳ οὐδεμία ἦν πλὴν ταύτης, οὔτε χρημάτων ἕνεκα
ἔπραξα ταῦτα, ἵνα πλούσιος ἐκ πένητος γένωμαι, οὔτε ἄλλου
5 κέρδους οὐδενὸς πλὴν τῆς κατὰ τοὺς νόμους τιμωρίας. ἐγὼ
τοίνυν ἐξ ἀρχῆς ὑμῖν ἅπαντα ἐπιδείξω τὰ ἐμαυτοῦ πράγματα,
οὐδὲν παραλείπων, ἀλλὰ λέγων τἀληθῆ· ταύτην γὰρ ἐμαυτῷ
μόνην ἡγοῦμαι σωτηρίαν, ἐὰν ὑμῖν εἰπεῖν ἅπαντα δυνηθῶ τὰ
πεπραγμένα.

6 ἐγὼ γάρ, ὦ Ἀθηναῖοι, ἐπειδὴ ἔδοξέ μοι γῆμαι καὶ γυναῖκα
ἠγαγόμην εἰς τὴν οἰκίαν, τὸν μὲν ἄλλον χρόνον οὕτω
διεκείμην ὥστε μήτε λυπεῖν μήτε λίαν ἐπ' ἐκείνῃ εἶναι ὅ τι ἂν
ἐθέλῃ ποιεῖν, ἐφύλαττόν τε ὡς οἷόν τε ἦν, καὶ προσεῖχον τὸν
νοῦν ὥσπερ εἰκὸς ἦν. ἐπειδὴ δέ μοι παιδίον γίγνεται,
ἐπίστευον ἤδη καὶ πάντα τὰ ἐμαυτοῦ ἐκείνῃ παρέδωκα,
7 ἡγούμενος ταύτην οἰκειότητα μεγίστην εἶναι· ἐν μὲν οὖν τῷ
πρώτῳ χρόνῳ, ὦ Ἀθηναῖοι, πασῶν ἦν βελτίστη· καὶ γὰρ
οἰκονόμος δεινὴ καὶ φειδωλὸς {ἀγαθὴ} καὶ ἀκριβῶς πάντα
διοικοῦσα. ἐπειδὴ δέ μοι ἡ μήτηρ ἐτελεύτησεν, ἣ πάντων τῶν
8 κακῶν ἀποθανοῦσα αἰτία μοι γεγένηται — ἐπ' ἐκφορὰν γὰρ

7 οἰκονόμος . . . {ἀγαθὴ} Choric. Gaz. 7.1.4, 20.2.33

1 ἡγεῖται] εἶναι Weidner 2 ἡγοῦμαι γὰρ η ἀποδεῖξαι Coraes in schedis (item Herwerden) 3 ἐμοίχευσεν Contius 5 ὕβριζεν Thalheim οὔτε ἔχθρα X[c]: οὕτως ἔχθρα X[1]: καὶ ⟨ὅτι⟩ οὔτε ἔχθρα Pertz 8 κέρδους del. Rauchenstein τοὺς ante νόμους om. X 9 ἐξ ἀρχῆς om. H 10 ⟨ἅπαντα⟩ λέγων Hirschig 11–12 τὰ [[3 litt.]] πεπραγμένα To 13 ὦ ἄνδρες MN 14 τὸν μὲν οὖν ἄλλον H 15 λυπεῖν] ἀπιστεῖν Bergk: ⟨ἀπιστίᾳ⟩ λυπεῖν Frohberger: ζηλοτυπεῖν P. R. Müller λίαν] ἐᾶν P. R. Müller 16 ἐθέλῃ H: θέλῃ rell.: {ἂν} θέλοι Dobree 18 ἐμαυτῶ P ἐκείνῃ om. η 20 ὦ ἄνδρες H 21 ἀγαθὴ del. Dobree, def. Albini *SIFC* 32 (1960), ret. Avezzù: καὶ ἐργάτις Reuss: ἀλύπως Thalheim: ἀγαπητῶς Groeneboom: δαπάνης Erbse 22 ἣ πάντων η [[1 litt.]] πάντων X: πάντων Af: 23 lacunam post γεγένηται statuit Schenkl: possis γεγένηται, ἐπ ἐκφορὰν {γὰρ} αὐτῇ

αὐτῇ ἀκολουθήσασα ἡ ἐμὴ γυνὴ ὑπὸ τούτου τοῦ ἀνθρώπου
ὀφθεῖσα χρόνῳ διαφθείρεται· ἐπιτηρῶν γὰρ τὴν θεράπαιναν
τὴν εἰς τὴν ἀγορὰν βαδίζουσαν καὶ λόγους προσφέρων
ἀπώλεσεν αὐτήν. πρῶτον μὲν οὖν, ὦ ἄνδρες, (δεῖ γὰρ καὶ 9
ταῦθ᾽ ὑμῖν διηγήσασθαι) οἰκίδιον ἔστι μοι διπλοῦν, ἴσα ἔχον τὰ
ἄνω τοῖς κάτω κατὰ τὴν γυναικωνῖτιν καὶ κατὰ τὴν
ἀνδρωνῖτιν. ἐπειδὴ δὲ τὸ παιδίον ἐγένετο ἡμῖν, ἡ μήτηρ αὐτὸ
ἐθήλαζεν· ἵνα δὲ μή, ὁπότε λοῦσθαι δέοι, κινδυνεύῃ κατὰ τῆς
κλίμακος καταβαίνουσα, ἐγὼ μὲν ἄνω διῃτώμην, αἱ δὲ
γυναῖκες κάτω. καὶ οὕτως ἤδη συνειθισμένον ἦν, ὥστε 10
πολλάκις ἡ γυνὴ ἀπῄει κάτω καθευδήσουσα ὡς τὸ παιδίον, ἵνα
τὸν τιτθὸν αὐτῷ διδῷ καὶ μὴ βοᾷ. καὶ ταῦτα πολὺν χρόνον
οὕτως ἐγίγνετο, καὶ ἐγὼ οὐδέποτε ὑπώπτευσα, ἀλλ᾽ οὕτως
ἠλιθίως διεκείμην, ὥστε ᾤμην τὴν ἑαυτοῦ γυναῖκα πασῶν
σωφρονεστάτην εἶναι τῶν ἐν τῇ πόλει. προϊόντος δὲ τοῦ 11
χρόνου, ὦ ἄνδρες, ἧκον μὲν ἀπροσδοκήτως ἐξ ἀγροῦ, μετὰ δὲ
τὸ δεῖπνον τὸ παιδίον ἐβόα καὶ ἐδυσκόλαινεν ὑπὸ τῆς
θεραπαίνης ἐπίτηδες λυπούμενον, ἵνα ταῦτα ποιῇ· ὁ γὰρ
ἄνθρωπος ἔνδον ἦν· ὕστερον γὰρ ἅπαντα ἐπυθόμην. καὶ ἐγὼ 12
τὴν γυναῖκα ἀπιέναι ἐκέλευον καὶ δοῦναι τῷ παιδίῳ τὸν
τιτθόν, ἵνα παύσηται κλαῖον. ἡ δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελεν,
ὡς ἂν ἀσμένη με ἑορακυῖα ἥκοντα διὰ χρόνου· ἐπειδὴ δὲ ἐγὼ

9 *οἰκίδιον ἔστι μοι διπλοῦν, ἴσα ἔχον τὰ ἄνω τοῖς κάτω* Demetr. *De eloc.* 190.2 Radermacher *ἐθήλαζεν* Suda *θ* 331 Adler s. v. *θηλάζειν*

---

1 *ἀκολουθήσασα* post *ἡ ἐμὴ γυνὴ* H *τούτου* del. Halbertsma 2 *τὴν* ante *θεράπαιναν* del. Röhl, *τὴν* ante *εἰς* del. Emperius 4 *ὦ ἄνδρες* ηX : *ὦ δικασταί* Af (item 11, 14, 15, 23, 25, 32, 34, 37 post *ἐγὼ δέ*, 41) 5 *ἴσα ἔχων* P 6 *καὶ κάτω* Auger *καὶ τὴν γυναικωνῖτιν καὶ τὴν ἀνδρωνῖτιν* Weidner *κατὰ*$^2$ om. AfH 7 *αὐτή* Bake 8 *ἐθήλαζε* Af *λούεσθαι* codd. corr. Dindorf *κινδυνεύοι* Herwerden 9 *καταβαίνουσα* ex *καταβαίνουσι* corr. P *διῃτόμην* H 10 *συνοιθισμένον* X 12–13 *οὕτως* post *χρόνον* om. H 13 *ἐγίν.* PToX *οὐδεπώποτε* Af : *οὐδεν πώποτε* Herwerden 14 *ἀλιθια* P *ἑαυτοῦ* X[1]η : *ἐμαυτοῦ* X[r]Af 15 *σωφρονεστάτην* ex *σοφρονεστάτην* corr. P[1] 17 *ἐδυσκόλαινε* ex *ἐδυσκόλενε* corr. P 18 *θεραπαίνης* ex *θεραπαινίδης* corr. P[1] 20 *τῷ παιδίῳ* H[c] P[c]To : *τὸ παιδίον* H[1] P[1] : *τῷ παιδὶ* X (ut vid. : *τῶ παι*$^{δ'}$) 21 *κλᾶον* Cobet 22 *ἀσμένη*] [2 litt.]*μένη* P *ἑορακυῖα* Cobet : *ἑωρακυῖα* codd.

ὠργιζόμην καὶ ἐκέλευον αὐτὴν ἀπιέναι, 'ἵνα σύ γε' ἔφη 'πειρᾷς ἐνταῦθα τὴν παιδίσκην· καὶ πρότερον δὲ μεθύων εἷλκες αὐτήν'.

13 κἀγὼ μὲν ἐγέλων, ἐκείνη δὲ ἀναστᾶσα καὶ ἀπιοῦσα προστίθησι τὴν θύραν, προσποιουμένη παίζειν, καὶ τὴν κλεῖν ἐφέλκεται. κἀγὼ τούτων οὐδὲν ἐνθυμούμενος οὐδ' ὑπονοῶν ἐκάθευδον ἄσμενος, ἥκων ἐξ ἀγροῦ.

14 ἐπειδὴ δὲ ἦν πρὸς
[93S] ἡμέραν, ἧκεν ἐκείνη καὶ τὴν θύραν ἀνέῳξεν. ἐρομένου δέ μου τί αἱ θύραι νύκτωρ ψοφοῖεν, ἔφασκε τὸν λύχνον ἀποσβεσθῆναι τὸν παρὰ τῷ παιδίῳ, εἶτα ἐκ τῶν γειτόνων ἐνάψασθαι. ἐσιώπων ἐγὼ καὶ ταῦτα οὕτως ἔχειν ἡγούμην. ἔδοξε δέ μοι, ὦ ἄνδρες, τὸ πρόσωπον ἐψιμυθιῶσθαι, τοῦ ἀδελφοῦ τεθνεῶτος οὔπω τριάκονθ' ἡμέρας· ὅμως δ' οὐδ' οὕτως οὐδὲν εἰπὼν περὶ τοῦ πράγματος ἐξελθὼν ᾠχόμην ἔξω σιωπῇ.

15 μετὰ δὲ ταῦτα, ὦ ἄνδρες, χρόνου μεταξὺ διαγενομένου καὶ ἐμοῦ πολὺ ἀπολελειμμένου τῶν ἐμαυτοῦ κακῶν, προσέρχεταί μοί τις πρεσβῦτις ἄνθρωπος, ὑπὸ γυναικὸς ὑποπεμφθεῖσα ἣν ἐκεῖνος ἐμοίχευεν, ὡς ἐγὼ ὕστερον ἤκουον· αὕτη δὲ ὀργιζομένη καὶ ἀδικεῖσθαι νομίζουσα, ὅτι οὐκέτι ὁμοίως ἐφοίτα παρ' αὐτήν, ἐφύλαττεν ἕως ἐξηῦρεν ὅ τι εἴη τὸ αἴτιον.

13 ἀπιοῦσα . . . θύραν Bekker *Anecd.* i.169.30–3. s. v. προστιθῶ
14 ἐνάψασθαι Vat. Gr. 7 fr. 77 ed. Ucciardello ἔδοξε . . . ἡμέρας Georgus Monus 688, 26–9 (ed. Schilling, *Jahrb. für cl. Phil.* Suppl. XXXVIII)
16 ὁ γὰρ ἀνὴρ . . . γυναῖκα Bekker, *Anecd.* i.176, 25–30 s. v. ὑβρίζω

---

1 ⟨αὖθις⟩ αὐτὴν Kirchner : αὐτίκα van Leeuwen ap. Groeneboom 2 δὲ ante μεθύων om. η : δὴ Sauppe μεθύων] μανιναι ut vid. P εἷλκον P 3 ἀναστᾶσα καὶ om. H : καὶ del. Halbertsma : ὡς Naber ἐξιοῦσα Bekker, *Anecd.* i. 169 6 ἧκον P 7 ἐκεῖνος Af 9 ἐνάψασθαι] ἅψασθαι Vat. Gr. 7: ἀνάψασθαι Steph. 10 ἔχειν] ἦχον $P^{1}$ : ἔχειν $P^{c}$ ἡγούμην] ἐνόμισα H ἔδοξέ τε Georgius 11 ὦ ἄνδρες om. Georgius ἐψιμ. τὴν ὄψιν Georgius : ἐψιμμυθ. HTo : ἐψιμμιθ. *P* 12 οὐδὲ οὕτως H 12–13 οὐδὲν εἰπὼν] εἰπὼν εἰπὼν To : οὐδὲν ὑπονοῶν Hirschig : οὐδὲν ὑποπτεύων Weidner 13 εἰπὼν] ιπων P ἐχόμην P 14 δὲ om. To ὦ ἄνδρες δικασταί $Π^{1}$ μεταξὺ] ἱκάνου H : aut μεταξὺ om. aut γενομένου leg $Π^{1}$ ut vid. 16 πρεσβῦτις PTo : πρεσβύτις HX ὑποπεμφθεῖσα $X^{1}$ ἐπιπεμφθεῖσα η (ex ἐπιπεμφθῆσα corr. P)$X^{c}$: 17 ἐμοίχευσεν Weidner αὕτη δὲ (quod coniecerat Taylor) vel αύτη δὲ To : αὐτὴ δὲ HPX 18 οὐκέτι] οὐκ ἔστιν $P^{1}$ corr. $P^{c}$ ὁμοίως ante ἐμοίχευεν trs. Heldmann 19 παρ' αὐτὴν $P^{c}$ $X^{c}$ : παρ' αὐτῇ HTo $X^{1}$ παρ' αὐτῆς $P^{1}$ ἐξηῦρεν Herwerden : ἐξεῦρεν codd. εἰ $P^{1}$ : εἴη $P^{c}$

προσελθοῦσα οὖν μοι ἐγγὺς ἡ ἄνθρωπος τῆς οἰκίας τῆς ἐμῆς 16
ἐπιτηροῦσα, 'Εὐφίλητε,' ἔφη 'μηδεμιᾷ πολυπραγμοσύνῃ
προσεληλυθέναι με νόμιζε πρὸς σέ· ὁ γὰρ ἀνὴρ ὁ ὑβρίζων εἰς σὲ
καὶ τὴν σὴν γυναῖκα ἐχθρὸς ὢν ἡμῖν τυγχάνει. ἐὰν οὖν λάβῃς
τὴν θεράπαιναν τὴν εἰς ἀγορὰν βαδίζουσαν καὶ διακονοῦσαν
ὑμῖν καὶ βασανίσῃς, ἅπαντα πεύσῃ. ἔστι δ',' ἔφη
'Ἐρατοσθένης Ὀῆθεν ὁ ταῦτα πράττων, ὃς οὐ μόνον τὴν σὴν
γυναῖκα διέφθαρκεν ἀλλὰ καὶ ἄλλας πολλάς· ταύτην γὰρ {τὴν}
τέχνην ἔχει.' ταῦτα εἰποῦσα, ὦ ἄνδρες, ἐκείνη μὲν ἀπηλλάγη, 17
ἐγὼ δ' εὐθέως ἐταραττόμην, καὶ πάντα μου εἰς τὴν γνώμην
εἰσῄει, καὶ μεστὸς ἦν ὑποψίας, ἐνθυμούμενος μὲν ὡς
ἀπεκλῄσθην ἐν τῷ δωματίῳ, ἀναμιμνῃσκόμενος δὲ ὅτι ἐν
ἐκείνῃ τῇ νυκτὶ ἐψόφει ἡ μέταυλος θύρα καὶ ἡ αὔλειος, ὃ
οὐδέποτε ἐγένετο, ἔδοξέ τέ μοι ἡ γυνὴ ἐψιμυθιῶσθαι. ταῦτά
μου πάντα εἰς τὴν γνώμην εἰσῄει, καὶ μεστὸς ἦν ὑποψίας.
ἐλθὼν δὲ οἴκαδε ἐκέλευον ἀκολουθεῖν μοι τὴν θεράπαιναν εἰς 18
τὴν ἀγοράν, ἀγαγὼν δ' αὐτὴν ὡς τῶν ἐπιτηδείων τινὰ ἔλεγον
ὅτι ἐγὼ πάντα εἴην πεπυσμένος τὰ γιγνόμενα ἐν τῇ οἰκίᾳ· 'σοὶ
οὖν' ἔφην 'ἔξεστι δυοῖν ὁπότερον βούλει ἑλέσθαι, ἢ
μαστιγωθεῖσαν εἰς μυλῶνα ἐμπεσεῖν καὶ μηδέποτε παύσασθαι
κακοῖς τοιούτοις συνεχομένην, ἢ κατειποῦσαν ἅπαντα τἀληθῆ

17 *μέταυλος, αὔλειος* Harpocr. μ 30, α 263 Keaney s. vv. *καὶ πάντα . . . ὑποψίας* Georgius Monus (v. supr.)

---

1 *ἡ ἄνθρωπος* del. Halbertsma *καὶ τῆς οἰκ.* H 2 *ὦ φίλτατε* Contius Anon. Lugd. 4 *κατὰ τὴν γυναῖκα* Damsté 5 *θεράπεναν* P[1]corr. P[a] post *θεράπαιναν* add. *καὶ β* in rasura P *τὴν εἰς τὴν* To *εἰς ἀγορὰν βαδίζουσαν καὶ* del. Röhl *διακ. ἡμῖν* H P[1] (corr. P[a]) 6 *πεύσῃ* codd. *πεύσει* Cobet *ἔφη* om. η 7 *Οἴηθεν* X, corr. Hude: *σοι* η scholium *ἐκ τόπου τινὸς ἴσως ὡς Ἀθήνηθεν* X[m] 8 *τὴν* ante *τέχνην* del. Bekker 9 *ταῦτα μὲν* H *εἰποῦσαι* P[1]corr. P[a] 10 *εὐθὺς* (pro *εὐθέως*) ante *ἀπηλλάγη* trs. H *πάντα μὲν εἰς* HTo *καὶ πάντα μου . . . ὑποψίας*[1] del. Dobree *μου . . . εἰσῄει*] *ταῦτα εἰσῄει μοι λογίσαθαι* Georgius *γνώμην*[1]] *γνώμιν* H 11 *ἦν*] *ἦ* Hude (et passim) 12 *ἀπεκλῄσθην* Cobet: *ἀπεκλείσθην* codd. 14 *οὐδεπώποτε* Herwerden *ἐψιμμ.* η 15 *γνώμην*[2]] *γνῶσιν* η 17 *τινὰ*] *ἕνεκα* Damsté 18 *πάντα εἴην ἐγὼ* η *γινόμενα* HPX: *γενόμενα* To om. Af 19 *ἔφην* om. H *εστι* P *δυοῖν* om. H 20 *μαστιγωθεῖσα* P *μυλῶνα* X[1] (def. Groeneboom): *μύλωνα* ηX[a] 21 *κατειποῦσα* P

μηδὲν παθεῖν κακόν, ἀλλὰ συγγνώμης παρ' ἐμοῦ τυχεῖν τῶν
19 ἡμαρτημένων. ψεύσῃ δὲ μηδέν, ἀλλὰ πάντα τἀληθῆ λέγε.'
κἀκείνη τὸ μὲν πρῶτον ἔξαρνος ἦν, καὶ ποιεῖν ἐκέλευεν ὅ τι
βούλομαι· οὐδὲν γὰρ εἰδέναι· ἐπειδὴ δὲ ἐγὼ ἐμνήσθην
Ἐρατοσθένους πρὸς αὐτήν, καὶ εἶπον ὅτι οὗτος ὁ φοιτῶν εἴη
πρὸς τὴν γυναῖκα, ἐξεπλάγη ἡγησαμένη με πάντα ἀκριβῶς
ἐγνωκέναι. καὶ τότε ἤδη πρὸς τὰ γόνατά μου πεσοῦσα, καὶ
20 πίστιν παρ' ἐμοῦ λαβοῦσα μηδὲν πείσεσθαι κακόν, κατηγόρει
πρῶτον μὲν ὡς μετὰ τὴν ἐκφορὰν αὐτῇ προσίοι, ἔπειτα ὡς
αὐτὴ τελευτῶσα εἰσαγγείλειε καὶ ὡς ἐκείνη τῷ χρόνῳ
πεισθείη, καὶ τὰς εἰσόδους οἷς τρόποις προσιεῖτο, καὶ ὡς
Θεσμοφορίοις ἐμοῦ ἐν ἀγρῷ ὄντος ᾤχετο εἰς τὸ ἱερὸν μετὰ τῆς
μητρὸς τῆς ἐκείνου· καὶ τἆλλα τὰ γενόμενα πάντα ἀκριβῶς
21 διηγήσατο. ἐπειδὴ δὲ πάντα εἴρητο αὐτῇ, εἶπον ἐγώ, 'ὅπως
τοίνυν ταῦτα μηδεὶς ἀνθρώπων πεύσεται· εἰ δὲ μή, οὐδέν σοι
κύριον ἔσται τῶν πρὸς ἔμ' ὡμολογημένων. ἀξιῶ δέ σε ἐπ'
αὐτοφώρῳ ταῦτά μοι ἐπιδεῖξαι· ἐγὼ γὰρ οὐδὲν δέομαι λόγων,
ἀλλὰ τὸ ἔργον φανερὸν γενέσθαι, εἴπερ οὕτως ἔχει.' ὡμολόγει
22 ταῦτα ποιήσειν. καὶ μετὰ ταῦτα διεγένοντο ἡμέραι τέτταρες
ἢ πέντε, ὡς ἐγὼ μεγάλοις ὑμῖν τεκμηρίοις ἐπιδείξω. πρῶτον
δὲ διηγήσασθαι βούλομαι τὰ πραχθέντα τῇ τελευταίᾳ ἡμέρᾳ.
Σώστρατος ἦν μοι ἐπιτήδειος καὶ φίλος. τούτῳ ἡλίου
δεδυκότος ἰόντι ἐξ ἀγροῦ ἀπήντησα. εἰδὼς δ' ἐγὼ ὅτι
τηνικαῦτα ἀφιγμένος οὐδὲν {ἂν} καταλήψοιτο οἴκοι τῶν

1 συγγνώμης $P^{1}$corr. $P^{r}$ 2 ψεύσῃ η$X^{c}$: ψεύδῃ $X^{1}$ ἀληθῆ H 4 οὐδὲ γὰρ Af οὐδὲν γὰρ ἔλεγεν αὐτὴν εἰδέναι H 5 ὁ φοιτῶν $X^{c}$: [[3 litt.]] φοιτῶν $X^{1}$ (σοι in rasura ut vid): σοι φοιτῶν η : ὁ εἰσφοιτῶν Schenkl 8 κατηγορεῖ P: κατηγόρευε Cobet 9 προσίῃ H 11 πεισθείη H (coniecerat Reiske): προσθείη PToX προσιεῖτο Thalheim: προσίοι codd.: ποιοίη Reiske: ποιοῖτο Cobet: εἰσίοι Hertlein: προσίοιτο Kayser: sunt alia 14 εἴρητο] εὕρητο ut vid. P σκόπει τοίνυν ὅπως μ. α. π. ταῦτα H 15 πεύσεται OPToW: πεύσηται HX 16 πρὸς ἐμὲ Af: πρὸς ἐμοῦ Francken: πρόσθεν Röhl 17 δέομαι] δεόμενον P 19–20 τέτταρες ἢ πέντε ἡμέραι H τέσσ. PToX 20 post πέντε lacunam statuit Reiske, e.g. καὶ ἐπ' αὐτοφώρῳ τὸν μοιχὸν ἔνδον ἔλαβον: ἕως ἐγὼ τὴν ἐκ τῶν νόμων δίκην ἔλαβον malebat Thalheim μεγάλοις] μὲν ἄλλοις Edwards 21 διηγήσασθαι] λογίσασθαι Af 23 ὄντι ἐξ ἀγροῦ To: ἀνιόντι (vel ἐπανιόντι) ἐξ ἀ. Reiske 24 οὐδένα Bekker ἂν del. Bekker καταλείψοιτο η

ἐπιτηδείων, ἐκέλευον συνδειπνεῖν· καὶ ἐλθόντες οἴκαδε ὡς ἐμέ,
ἀναβάντες εἰς τὸ ὑπερῷον ἐδειπνοῦμεν. ἐπειδὴ δὲ καλῶς 23
αὐτῷ εἶχεν, ἐκεῖνος μὲν ἀπιὼν ᾤχετο, ἐγὼ δ' ἐκάθευδον. ὁ δ' [94S]
Ἐρατοσθένης, ὦ ἄνδρες, εἰσέρχεται, καὶ ἡ θεράπαινα
ἐπεγείρασά με εὐθὺς φράζει ὅτι ἔνδον ἐστί. κἀγὼ εἰπὼν
ἐκείνῃ ἐπιμελεῖσθαι τῆς θύρας, καταβὰς σιωπῇ ἐξέρχομαι, καὶ
ἀφικνοῦμαι ὡς τὸν καὶ τόν, καὶ τοὺς μὲν ἔνδον κατέλαβον, τοὺς
δὲ οὐκ ἐπιδημοῦντας ηὗρον. παραλαβὼν δ' ὡς οἷόν τε ἦν 24
πλείστους ἐκ τῶν παρόντων ἐβάδιζον. καὶ δᾷδας λαβόντες ἐκ
τοῦ ἐγγύτατα καπηλείου εἰσερχόμεθα, ἀνεῳγμένης τῆς θύρας
καὶ ὑπὸ τῆς ἀνθρώπου παρεσκευασμένης. ὤσαντες δὲ τὴν
θύραν τοῦ δωματίου οἱ μὲν πρῶτοι εἰσιόντες ἔτι εἴδομεν αὐτὸν
κατακείμενον παρὰ τῇ γυναικί, οἱ δ' ὕστερον ἐν τῇ κλίνῃ
γυμνὸν ἑστηκότα. ἐγὼ δ', ὦ ἄνδρες, πατάξας καταβάλλω 25
αὐτόν, καὶ τὼ χεῖρε περιαγαγὼν εἰς τοὔπισθεν καὶ δήσας
ἠρώτων διὰ τί ὑβρίζει εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών.
κἀκεῖνος ἀδικεῖν μὲν ὡμολόγει, ἠντεβόλει δὲ καὶ ἱκέτευε μὴ
ἀποκτεῖναι ἀλλ' ἀργύριον πράξασθαι. ἐγὼ δ' εἶπον ὅτι 'οὐκ 26
ἐγώ σε ἀποκτενῶ, ἀλλ' ὁ τῆς πόλεως νόμος, ὃν σὺ παραβαίνων
περὶ ἐλάττονος τῶν ἡδονῶν ἐποιήσω, καὶ μᾶλλον εἵλου
τοιοῦτον ἁμάρτημα ἐξαμαρτάνειν εἰς τὴν γυναῖκα τὴν ἐμὴν καὶ
εἰς τοὺς παῖδας τοὺς ἐμοὺς ἢ τοῖς νόμοις πείθεσθαι καὶ
κόσμιος εἶναι.' οὕτως, ὦ ἄνδρες, ἐκεῖνος τούτων ἔτυχεν ὧνπερ 27
οἱ νόμοι κελεύουσι τοὺς τὰ τοιαῦτα πράττοντας, οὐκ
εἰσαρπασθεὶς ἐκ τῆς ὁδοῦ, οὐδ' ἐπὶ τὴν ἑστίαν καταφυγών,

6 ἐπιμέλεσθαι Cobet τὰς θύρ. HTo 7–8 ⟨οὐκ⟩ ἔνδον et οὐδ' ἐπιδημοῦντας Reiske coll. §41: MSS lect. def. Boegehold *Polis and Politics* 597 ff. 8 ηὗρον Herwerden, qui verbum suspectum habebat: εὗρον codd. 11 ὑπὸ del. Francken παρασκευασμένης P 12 ἤδη εἴδωμεν ut vid. H 13 ἐν τῇ κλίνῃ ante οἱ δ' ὕστερον trs. Groeneboom 15 καὶ δήσας del. Herwerden 16 ἠρώτουν P 17 ἠντεβόλει Cobet: ἠντιβόλει codd. 18 ἀποκτεῖναι Hertlein: αὐτὸν κτεῖναι codd. 19 πόλεως ex πόλεος corr. P[1] 20 ἐποιήσω η : ἐποίησας X 22 ἐμοὺς ⟨καὶ εἰς ἐμαυτὸν⟩ P. R. Müller ('debebat εἰς ἐμέ' Thalheim) 23 κόσμιον εἶναι HP 25 ἀφαρπασθεὶς Contius: συναρπασθεὶς Markland

*ὥσπερ οὗτοι λέγουσι· πῶς γὰρ ἄν, ὅστις ἐν τῷ δωματίῳ πληγεὶς κατέπεσεν εὐθύς, περιέστρεψα δ' αὐτοῦ τὼ χεῖρε, ἔνδον δὲ ἦσαν ἄνθρωποι τοσοῦτοι, οὓς διαφυγεῖν οὐκ ἐδύνατο, οὔτε σίδηρον οὔτε ξύλον οὔτε ἄλλο οὐδὲν ἔχων, ᾧ τοὺς*
28 *εἰσελθόντας ἂν ἠμύνατο. ἀλλ', ὦ ἄνδρες, οἶμαι καὶ ὑμᾶς εἰδέναι ὅτι οἱ μὴ τὰ δίκαια πράττοντες οὐχ ὁμολογοῦσι τοὺς ἐχθροὺς λέγειν ἀληθῆ, ἀλλ' αὐτοὶ ψευδόμενοι καὶ τὰ τοιαῦτα μηχανώμενοι ὀργὰς τοῖς ἀκούουσι κατὰ τῶν τὰ δίκαια πραττόντων παρασκευάζουσι. πρῶτον μὲν οὖν ἀνάγνωθι τὸν νόμον.*

*ΝΟΜΟΣ*

29 *οὐκ ἠμφεσβήτει, ὦ ἄνδρες, ἀλλ' ὡμολόγει ἀδικεῖν, καὶ ὅπως μὲν μὴ ἀποθάνῃ ἠντεβόλει καὶ ἱκέτευεν, ἀποτίνειν δ' ἕτοιμος ἦν χρήματα. ἐγὼ δὲ τῷ μὲν ἐκείνου τιμήματι οὐ συνεχώρουν, τὸν δὲ τῆς πόλεως νόμον ἠξίουν εἶναι κυριώτερον, καὶ ταύτην ἔλαβον τὴν δίκην, ἣν ὑμεῖς δικαιοτάτην εἶναι ἡγησάμενοι τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσιν ἐτάξατε. Καί μοι ἀνάβητε τούτων μάρτυρες.*

*ΜΑΡΤΥΡΕΣ*

30 *ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον ⟨τὸν⟩ ἐκ τῆς στήλης τῆς ἐξ Ἀρείου πάγου.*

*ΝΟΜΟΣ*

*ἀκούετε, ὦ ἄνδρες, ὅτι αὐτῷ τῷ δικαστηρίῳ τῷ ἐξ Ἀρείου πάγου, ᾧ καὶ πάτριόν ἐστι καὶ ἐφ' ἡμῶν ἀποδέδοται τοῦ φόνου τὰς δίκας δικάζειν, διαρρήδην εἴρηται τούτου μὴ καταγιγνώσκειν φόνον, ὃς ἂν ἐπὶ δάμαρτι τῇ ἑαυτοῦ μοιχὸν*
31 *λαβὼν ταύτην τὴν τιμωρίαν ποιήσηται. καὶ οὕτω σφόδρα ὁ*

1 *ὅστις ἐν θοἰματίῳ ποδισθεὶς* Contius (*ποδισθεὶς* etiam M[c] Anon. Lugd.) 4 *σιδήριον* maluit Reiske coll. §42 *οὔτε ὅπλον ἄλλο οὐδὲν* H 7 *ἀληθῆ* X: *τἀληθῆ* *η* 8 *παρὰ τῶν τὰ δίκ.* *η* 11 tit. *νόμος* om. *η* 12 *ἠμφεσβ.* et *ἠντεβ.* Cobet: *ἠμφισβ.* et *ἠντιβ.* codd. 13 *ἀποθάνοι* Francken *οἰκέτευεν* P *δ'* post *ἀποτίνειν* om. P 14 *ἕτοιμος* [[]] *ἦν* X *τιμήματι* ex *τειμήματι* corr. P[1] 16 *εἶναι δικαιοτάην* *η* 19 tit. *μάρτυρες* om. *η* : *μαρτυρία* Af 20 *τοῦτον*] *τοὺς* P *τὸν* add. Westermann 22 tit. *νόμος* om. *η* 23 *ἀκούεται* P 24 *ἐφ' ὑμῶν* codd. 25 *καὶ διαρρήδην* H 25–26 *τοῦτον . . . φόνου* codd. corr. Reiske 27 *σφόδρα* [[*οἷον*]] To

*νομοθέτης ἐπὶ ταῖς γαμεταῖς γυναιξὶ δίκαια ταῦτα ἡγήσατο εἶναι, ὥστε καὶ ἐπὶ ταῖς παλλακαῖς ταῖς ἐλάττονος ἀξίαις τὴν αὐτὴν δίκην ἐπέθηκε. καίτοι δῆλον ὅτι, εἴ τινα εἶχε ταύτης μείζω τιμωρίαν, ἐπὶ ταῖς γαμεταῖς ἐποίησεν ἄν. νῦν δὲ οὐχ οἷός τε ὢν ταύτης ἰσχυροτέραν ἐπ' ἐκείναις ἐξευρεῖν, τὴν αὐτὴν καὶ ἐπὶ ταῖς παλλακαῖς ἠξίωσε γίγνεσθαι. ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον.*

*ΝΟΜΟΣ*

*ἀκούετε, <ὦ> ἄνδρες, ὅτι κελεύει, ἐάν τις ἄνθρωπον* 32
*ἐλεύθερον ἢ παῖδα αἰσχύνῃ βίᾳ, διπλῆν τὴν βλάβην ὀφείλειν· ἐὰν δὲ γυναῖκα, ἐφ' αἷσπερ ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι· οὕτως, ὦ ἄνδρες, τοὺς βιαζομένους ἐλάττονος ζημίας ἀξίους ἡγήσατο εἶναι ἢ τοὺς πείθοντας· τῶν μὲν γὰρ θάνατον κατέγνω, τοῖς δὲ διπλῆν ἐποίησε τὴν βλάβην,* 33
*ἡγούμενος τοὺς μὲν διαπραττομένους βίᾳ ὑπὸ τῶν βιασθέντων μισεῖσθαι, τοὺς δὲ πείσαντας οὕτως αὐτῶν τὰς ψυχὰς διαφθείρειν, ὥστ' οἰκειοτέρας αὐτοῖς ποιεῖν τὰς ἀλλοτρίας γυναῖκας ἢ τοῖς ἀνδράσι, καὶ πᾶσαν ἐπ' ἐκείνοις τὴν* [95S]
*οἰκίαν γεγονέναι, καὶ τοὺς παῖδας ἀδήλους εἶναι ὁποτέρων τυγχάνουσιν ὄντες, τῶν ἀνδρῶν ἢ τῶν μοιχῶν. ἀνθ' ὧν ὁ τὸν νόμον τιθεὶς θάνατον αὐτοῖς ἐποίησε τὴν ζημίαν. ἐμοῦ τοίνυν,* 34
*ὦ ἄνδρες, οἱ μὲν νόμοι οὐ μόνον ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν, ἀλλὰ καὶ κεκελευκότες ταύτην τὴν δίκην λαμβάνειν· ἐν ὑμῖν δ' ἐστὶ πότερον χρὴ τούτους ἰσχυροὺς ἢ μηδενὸς ἀξίους εἶναι.*

1 *ἐπὶ ταῖς γαμεταῖς γυναιξὶ* del. Halbertsma   *ταῦτα* ante *ἡγήσατο* om. *η*   2 *παλακαῖς* HTo   3 *ἐπέθηκε*] *εἰργάσατο* H   4 *τιμωρίαν μείζω* H   post *τιμωρίαν* interpunxi, praeeunte To: vulgo post *γαμεταῖς*   5 *εὑρεῖν* H   6 *παλακαῖς* To   *γίνεσθαι* HTo   *ἀνάγνωθι δή* Af   8 tit. *νόμος* om. *η*   9 *ἀκούεται* P   *ὦ* add. M[c] Contius Anon. Lugd.   *ἄνθρωπον*] *ἄνδρα* Dobree   10 *ὀφείλειν*] *εἴγειται* P   11–12 *ἐὰν δὲ γυναῖκα . . . ἐνέχεσθαι* del. Frohberger: *ἐφ' αἷσπερ ἀποκτείνειν ἔξεστιν* del. Halbertsma   ⟨*κἂν*⟩ *ἐφ' αἷσπερ* Photiades: *ἐφ' αἷσπερ* ⟨*τοὺς πείσαντας*⟩ Reiske   12 *ἐνέχεσθαι* ex *συνέχεσθαι* corr. P[1]   *ὦ ἄνδρες* del. Herwerden   15 *βίᾳ η* : *βίαν* X   16 *πείθοντας* Fuhr   17 *αὐτοῖς* codd. (sic fere)   18–19 *γενονέναι τὴν οἰκίαν* H   19 *οἰκίαν* HPTo[c]X[c]: *οἰκείαν* To[1]X[1]   20 *ὧν*] *οὗ* P[1]: *ὧν* P[c]   21 *θεὶς* Bekker   *ἐποίησε*] *προσέθηκε* H   22 *νόμος* ut vid. P   23 *ἀλλὰ καὶ κελεύουσι* H: *ἀλλὰ καικελευκότες* P   *λαμβάνην* P[1] corr. P[a]   24 *ἰσχύειν* Cobet

35 ἐγὼ μὲν γὰρ οἶμαι πάσας τὰς πόλεις διὰ τοῦτο τοὺς νόμους
τίθεσθαι, ἵνα περὶ ὧν ἂν πραγμάτων ἀπορῶμεν, παρὰ τούτους
ἐλθόντες σκεψώμεθα ὅ τι ἡμῖν ποιητέον ἐστίν. οὗτοι τοίνυν
περὶ τῶν τοιούτων τοῖς ἀδικουμένοις τοιαύτην δίκην
36 λαμβάνειν παρακελεύονται. οἷς ὑμᾶς ἀξιῶ τὴν αὐτὴν γνώμην
ἔχειν· εἰ δὲ μή, τοιαύτην ἄδειαν τοῖς μοιχοῖς ποιήσετε, ὥστε
καὶ τοὺς κλέπτας ἐπαρεῖτε φάσκειν μοιχοὺς εἶναι, εὖ εἰδότας
ὅτι, ἐὰν ταύτην τὴν αἰτίαν περὶ ἑαυτῶν λέγωσι καὶ ἐπὶ τούτῳ
φάσκωσιν εἰς τὰς ἀλλοτρίας οἰκίας εἰσιέναι, οὐδεὶς αὐτῶν
ἅψεται. πάντες γὰρ εἴσονται ὅτι τοὺς μὲν νόμους τῆς
μοιχείας χαίρειν ἐᾶν δεῖ, τὴν δὲ ψῆφον τὴν ὑμετέραν δεδιέναι·
αὕτη γάρ ἐστι πάντων τῶν ἐν τῇ πόλει κυριωτάτη.
37 σκέψασθε δέ, ὦ ἄνδρες· κατηγοροῦσι γάρ μου ὡς ἐγὼ τὴν
θεράπαιναν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετελθεῖν ἐκέλευσα τὸν
νεανίσκον. ἐγὼ δέ, ὦ ἄνδρες, δίκαιον μὲν ἂν ποιεῖν ἡγούμην
ᾡτινιοῦν τρόπῳ τὸν τὴν γυναῖκα τὴν ἐμὴν διαφθείραντα
38 λαμβάνων· εἰ μὲν γὰρ λόγων εἰρημένων ἔργου δὲ μηδενὸς
γεγενημένου μετελθεῖν ἐκέλευον ἐκεῖνον, ἠδίκουν ἄν· εἰ δὲ ἤδη
πάντων διαπεπραγμένων καὶ πολλάκις εἰσεληλυθότος εἰς τὴν
οἰκίαν τὴν ἐμὴν ᾡτινιοῦν τρόπῳ ἐλάμβανον αὐτόν, σώφρον' ἂν
39 ἐμαυτὸν ἡγούμην· σκέψασθε δὲ ὅτι καὶ ταῦτα ψεύδονται·
ῥᾳδίως δὲ ἐκ τῶνδε γνώσεσθε. ἐμοὶ γάρ, ὦ ἄνδρες, ὅπερ καὶ
πρότερον εἶπον, φίλος ὢν Σώστρατος καὶ οἰκείως διακείμενος
ἀπαντήσας ἐξ ἀγροῦ περὶ ἡλίου δυσμὰς συνεδείπνει, καὶ
ἐπειδὴ καλῶς εἶχεν αὐτῷ, ἀπιὼν ᾤχετο. καίτοι πρῶτον μέν,

2 *περὶ τούτους η*  4 *παρὰ τῶν τοιούτων* Taylor  5 *λαμβάνειν* ex *λαμβάνην* corr. $P^1$  *ἄξιον* Weidner  6 *τοσαύτην* Hartman  *ὥστε* Baiter–Sauppe: *ὡς* codd.  7 *ἐπαρεῖτε*] *ἐπαίρεσθαι καὶ φάσκειν* H  *οἰδόντες* $HTo^1$  8 *περὶ αὐτῶν η*  10–11 *τῆς μοιχείας* del. Herwerden ⟨*περὶ*⟩ *τῆς μοιχείας* Cobet  11 *δεῖ* om. P  12 *κυριώτατον* Cobet  13 *σκέψασθαι* $P^1$ corr. $P^a$  *δέ* $H^cM^c$ Contius Anon. Lugd. om. PX: *οὖν* To  14 *ὑμέρα* P  ad *μετελθεῖν* scholium *καλέσαι* $X^m$  15 *μὲν ἂν* $HToX^c$: *μὲν* om. $P^a$ *ἂν* om $X^1$  17 *λόγων* ⟨*μὲν*⟩ Herwerden  *ἔργου* bis P  18 *ἂν ἠδίκουν* H  19 *εἰσεληλυθότων η*  20 *τρόπῳ*] *μήπω* HP  *σώφρον' ἂν* Kappeyne: *σωφρονεῖν* codd.: *σωφρονεῖν* ⟨*ἂν*⟩ Taylor, quod certe possis  21 *ταῦτα ψεύδ.*] *καταψεύδ. η*  22 *γνώσεσθαι* H  23 *Σωστράτης* To: *σω* P  25 *πρῶτον* om. H  *μὲν* om. HP

*ὦ ἄνδρες, ἐνθυμήθητε· {ὅτι} εἰ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐγὼ* 40
*ἐπεβούλευον Ἐρατοσθένει, πότερον ἦν μοι κρεῖττον αὐτῷ*
*ἑτέρωθι δειπνεῖν ἢ τὸν συνδειπνήσοντά μοι εἰσαγαγεῖν; οὕτω*
*γὰρ ἂν ἧττον ἐτόλμησεν ἐκεῖνος εἰσελθεῖν εἰς τὴν οἰκίαν. εἶτα*
*δοκῶ ἂν ὑμῖν τὸν συνδειπνοῦντα ἀφεὶς μόνος καταλειφθῆναι*
*καὶ ἔρημος γενέσθαι, ἢ κελεύειν ἐκεῖνον μένειν, ἵνα μετ' ἐμοῦ*
*τὸν μοιχὸν ἐτιμωρεῖτο; ἔπειτα, ὦ ἄνδρες, οὐκ ἂν δοκῶ ὑμῖν* 41
*τοῖς ἐπιτηδείοις μεθ' ἡμέραν παραγγεῖλαι, καὶ κελεῦσαι αὐτοὺς*
*συλλεγῆναι εἰς οἰκίαν τῶν φίλων τὴν ἐγγυτάτω, μᾶλλον ἢ*
*ἐπειδὴ τάχιστα ᾐσθόμην τῆς νυκτὸς περιτρέχειν, οὐκ εἰδὼς*
*ὅντινα οἴκοι καταλήψομαι καὶ ὅντινα ἔξω; καὶ ὡς Ἁρμόδιον*
*μὲν καὶ τὸν δεῖνα ἦλθον οὐκ ἐπιδημοῦντας (οὐ γὰρ ᾔδειν),*
*ἑτέρους δὲ οὐκ ἔνδον ὄντας κατέλαβον, οὓς δ' οἷός τε ἦν λαβὼν*
*ἐβάδιζον. καίτοιγε εἰ προῄδειν, οὐκ ἂν δοκῶ ὑμῖν καὶ* 42
*θεράποντας παρασκευάσασθαι καὶ τοῖς φίλοις παραγγεῖλαι, ἵν'*
*ὡς ἀσφαλέστατα μὲν αὐτὸς εἰσῄειν (τί γὰρ ᾔδειν εἴ τι*
*κἀκεῖνος εἶχε σιδήριον;), ὡς μετὰ πλείστων δὲ μαρτύρων τὴν*
*τιμωρίαν ἐποιούμην; νῦν δ' οὐδὲν εἰδὼς τῶν ἐσομένων ἐκείνῃ*
*τῇ νυκτί, οὓς οἷός τε ἦν παρέλαβον. καί μοι ἀνάβητε τούτων*
*μάρτυρες.*

*ΜΑΡΤΥΡΕΣ*

*τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες· σκέψασθε δὲ παρ'* 43
*ὑμῖν αὐτοῖς οὕτως περὶ τούτου τοῦ πράγματος, ζητοῦντες εἴ*

1 *ὅτι* om. To del. Reiske   *εἰ* post *ὅτι* om. P   *εἴ ⟨τι⟩ ἐν* Weidner   2–4 *αὐτῷ . . . ἧττον* om. P   3 *τὸν συνδ.*] *καὶ συνδ.* HTo : *καὶ τὸν συνδ.* $M^c$ Contius Anon. Lugd.   *μοι* post *συνδειπν.* om. M   4 *ἐκεῖνος ἐτόλμ.* H   6 *ἢ* ante *κελεύειν* om. P   *κελεῦσαι* Reiske   *μένειν* $X^c$ : *μὲν εἶναι η*$X^1$ : *μεῖναι* Fuhr   8 *καὶ κελεῦσαι αὐτοὺς* del. Halbertsma   9 *τῶν φίλων τὴν* Bergk : *τῶν φίλων τῶν* (du. litt. super erasis $X^s$) codd. : *τῶν φίλων τοῦ* Valckenaer : *τινὰ φίλων τῶν* Thalheim : <*του*> *τῶν φίλων τῶν* Gernet–Bizos : *εἰς* {*οἰκίαν*} *τῶν φίλων* <*του*> Cobet   *ἐγγύτατα* P   10 *ἐπιδὴ* P   *τῆς* ex *τὰς* corr. To ut vid.   11 *καταλήψομαι* ex *καταλείψομαι* corr. ut vid H   12 *ᾔδη* Cobet (et passim)   13 *οὐκ* del. Tarán   *ὄντας* del. Halbertsma   *ἦν*] *ᾖ* Cobet (et passim ante cons.)   14 *γε* post *καίτοι* del. Weidner   15 *καὶ* ante *τοῖς φίλοις* del. Groeneboom   16 *εἰσῄα* Cobet   *εἴ τι*] *εἴ πως* Francken   17 *καὶ* ante *ἐκεῖνος* suspectum habet Francken   *εἰ σιδήριον* P   18 *οὐ εἰδὲν εἰδὼς* P   ⟨*ἐν*⟩ *ἐκείνῃ* Markland   21 tit. om. P sed est spatium : *μαρτυρία* Af ut vid.   23 *οὕτως* om. To : *οὕτω* Af

τις ἐμοὶ καὶ Ἐρατοσθένει ἔχθρα πώποτε γεγένηται πλὴν
44 ταύτης. οὐδεμίαν γὰρ εὑρήσετε. οὔτε γὰρ συκοφαντῶν
γραφάς με ἐγράψατο, οὔτε ἐκβάλλειν ἐκ τῆς πόλεως
ἐπεχείρησεν, οὔτε ἰδίας δίκας ἐδικάζετο, οὔτε συνῄδει κακὸν
οὐδὲν ὃ ἐγὼ δεδιὼς μή τις πύθηται ἐπεθύμουν αὐτὸν ἀπολέσαι,
οὔτε εἰ ταῦτα διαπραξαίμην, ἤλπιζόν ποθεν χρήματα
λήψεσθαι· ἔνιοι γὰρ τοιούτων πραγμάτων ἕνεκα θάνατον
45 ἀλλήλοις ἐπιβουλεύουσι. τοσούτου τοίνυν δεῖ ἢ λοιδορία ἢ
[96S] παροινία ἢ ἄλλη τις διαφορὰ ἡμῖν γεγονέναι, ὥστε οὐδὲ
ἑορακὼς ἦν τὸν ἄνθρωπον πώποτε πλὴν ἐν ἐκείνῃ τῇ νυκτί. τί
ἂν οὖν βουλόμενος ἐγὼ τοιοῦτον κίνδυνον ἐκινδύνευον, εἰ μὴ τὸ
46 μέγιστον τῶν ἀδικημάτων ἦν ὑπ' αὐτοῦ ἠδικημένος; ἔπειτα
παρακαλέσας αὐτὸς μάρτυρας ἠσέβουν, ἐξόν μοι, εἴπερ
ἀδίκως αὐτὸν ἐπεθύμουν ἀπολέσαι, μηδένα μοι τούτων
συνειδέναι;

47 ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ νομίζω
ταύτην γενέσθαι τὴν τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς πόλεως ἁπάσης·
οἱ γὰρ τοιαῦτα πράττοντες, ὁρῶντες οἷα τὰ ἆθλα πρόκειται
τῶν τοιούτων ἁμαρτημάτων, ἧττον εἰς τοὺς ἄλλους
ἐξαμαρτήσονται, ἐὰν καὶ ὑμᾶς ὁρῶσι τὴν αὐτὴν γνώμην
48 ἔχοντας. εἰ δὲ μή, πολὺ κάλλιον τοὺς μὲν κειμένους νόμους
ἐξαλεῖψαι, ἑτέρους δὲ θεῖναι, οἵτινες τοὺς μὲν φυλάττοντας

1 ἐγένετο H Π  4 ἐπεγείρησεν ut vid. p  ἐδικάσατο Frohberger 5 ⟨ἂν⟩ αὐτὸν Francken : ἂν Weidner  6 διεπραξαίμην Lipsius : διεπραξάμην codd.  ποθεν Emperius : μὲν X : om. η : del. M$^{c}$ Contius  7–8 ἔνιοι . . . ἐπιβουλεύουσι del. Röhl  ἕνεκεν codd., corr. Herwerden 8 ἀλλήλοις] ἄλλοις Auger  τοσούτου M$^{c}$: τοσούτω X$^{c}$: τοσοῦτο PToX$^{1}$ τοσοῦτον H  9 ὑμῖν To  οὐδὲ M$^{c}$(etiam Contius Anon. Lugd.) : οὔτε rell.  10 ἑορακὼς H : ἑωρακὼς rell.  13 παρακ. αὐτῷ PTo μαρτυρείαν P  ἠσέβουν ⟨ἂν⟩ Halbertsma  14 αὐτὸν ἐπεθύμουν $\Pi^{2}$η : ἐπ. αὐτὸν X  τούτων] τοσούτων Contius Anon. Lugd. : ⟨περὶ⟩ τούτων Frohberger : τοῦτο Weidner  16 ἄνδρες δικασταί $\Pi^{2}$  17 ταύτην om. $\Pi^{2}$  γενέσθαι] εἶναι η (τ. τ. εἶναι. H)  ἀλλὰ ⟨κοινὴν⟩ ὑπὲρ Herwerden  18 τὰ τοιαῦτα $\Pi^{2}$ quod coniecerat Herwerden  πρόκεινται To 20 ἐξαμαρτήσονται $\Pi^{2}$ηX$^{c}$ : ἐξαμαρτήσουσι X$^{1}$  ἐάν γε M$^{c}$ Anon. Lugd. 21 ἔχοντας γν. $\Pi^{2}$  βέλτιον To : κάλλειον ut vid $\Pi^{2}$  22 θεῖναι] τιθέναι $\Pi^{2}$ : εἶναι PTo : θέσθαι Auger  τοὺς fort. om. $\Pi^{2}$  φυλάττοντες $\Pi^{2}$

τὰς ἑαυτῶν γυναῖκας ταῖς ζημίαις ζημιώσουσι, τοῖς δὲ
βουλομένοις εἰς αὐτὰς ἁμαρτάνειν πολλὴν ἄδειαν ποιήσουσι.
πολὺ γὰρ οὕτω δικαιότερον ἢ ὑπὸ τῶν νόμων τοὺς πολίτας 49
ἐνεδρεύεσθαι, οἳ κελεύουσι μέν, ἐάν τις μοιχὸν λάβῃ, ὅ τι ἂν
οὖν βούληται χρῆσθαι, οἱ δ' ἀγῶνες δεινότεροι τοῖς
ἀδικουμένοις καθεστήκασιν ἢ τοῖς παρὰ τοὺς νόμους τὰς
ἀλλοτρίας καταισχύνουσι γυναῖκας. ἐγὼ γὰρ νῦν καὶ περὶ τοῦ 50
σώματος καὶ περὶ τῶν χρημάτων καὶ περὶ τῶν ἄλλων ἁπάντων
κινδυνεύω, ὅτι τοῖς τῆς πόλεως νόμοις ἐπειθόμην.

1 γυναῖκας τ . [. .] . . [ . ]υς ταῖς Π²: χ[ . ]υς fort. agnoscendum putabat Roberts, qui addit: 'but if μοιχοὺς is read there is only room for two letters between it and γυναῖκας': fort. τοὺς ἄλλους voluit librarius  ταῖς] ἐπὶ η (ζημιώσουσιν ἐ. ζ. H) del. Cobet: μεγάλαις Coraes in schedis: ταῖς ⟨μεγίσταις⟩ vel ⟨ἐσχάταις⟩ Reiske  2 αὐτοὺς Π²: αὐτὸ To  3 οὕτω] τοῦτο Contius  4 εἰ κελεύουσι Reiske  ὅτι ἐάν H  ἂν om. H  5 οὖν om. η  7 καταισχύνουσι] κατέχουσι To  8 πάντων η  9 τῆς om. P: τῆς πόλεως om. Af  ἐπιθομην Af recepit Hude